eul_wid: skw-aq

*Ἐρωτικὰ Ἀδέσποτα* · Erotic Narrative Anonymous

# Lover's Impassioned Boast

*Ἀπόσπασμα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

[24] στήσεται· κἂν σελήνῃ κελεύσω, καταβήσεται· κἂν κωλῦσαι θελ[ή]σω τὴν ἡμέραν, ἡ νύξ μοι μενεῖ· κἂν δεήθωμεν πάλιν ἡμέρας, τὸ φῶς οὐκ ἀπελεύσεται· κἂν πλεῦσαι θελήσω τὴν θάλατταν, οὐ δέομαι νεώς· κἂν δι' ἀέρος ἐλθεῖν, κουφισθήσομαι. ἐρωτικὸν μόνον οὐχ εὑρίσκω φάρμακον—οὐ ποιῆσαι δυνάμενον, οὐ παῦσαι δυνάμενον. ἡ γὴ γὰρ φοβουμένη τὸν θεὸν οὐ φέρει. εἰ δέ τις ἔχει καὶ δίδωσιν, αἰτῶ, δέομαι, "δότε· πιεῖν θέλω, χρίσασθαι θέλω." φαίνεσθαί σου τῇ θυγατρὶ καλὸν εἴδωλον λέγεις καὶ τοῦτό σοι παράδοξον εἶναι δοκεῖ. πόσοι δὲ ἄλλοι παραλόγων ἠράσθη[σ]αν σωμάτων [ .... ] νικας [ .. ] . νδε . ω[ ...... ]λιμ[ .. ] [Break in Text (point at which text breaks off for an unknown length)] [24]